# 1. Chronika 2

Septuaginta (LXX)

**1** ταῦτα τὰ ὀνόματα τῶν υἱῶν ισραηλ ρουβην συμεων λευι ιουδα ισσαχαρ ζαβουλων

**2** δαν ιωσηφ βενιαμιν νεφθαλι γαδ ασηρ

**3** υἱοὶ ιουδα ηρ αυναν σηλων τρεῖς ἐγεννήθησαν αὐτῷ ἐκ τῆς θυγατρὸς σαυας τῆς χαναανίτιδος καὶ ἦν ηρ ὁ πρωτότοκος ιουδα πονηρὸς ἐναντίον κυρίου καὶ ἀπέκτεινεν αὐτόν

**4** καὶ θαμαρ ἡ νύμφη αὐτοῦ ἔτεκεν αὐτῷ τὸν φαρες καὶ τὸν ζαρα πάντες υἱοὶ ιουδα πέντε

**5** υἱοὶ φαρες αρσων καὶ ιεμουηλ

**6** καὶ υἱοὶ ζαρα ζαμβρι καὶ αιθαν καὶ αιμαν καὶ χαλχαλ καὶ δαρα πάντες πέντε

**7** καὶ υἱοὶ χαρμι αχαρ ὁ ἐμποδοστάτης ισραηλ ὃς ἠθέτησεν εἰς τὸ ἀνάθεμα

**8** καὶ υἱοὶ αιθαν αζαρια

**9** καὶ υἱοὶ εσερων οἳ ἐτέχθησαν αὐτῷ ὁ ιραμεηλ καὶ ὁ ραμ καὶ ὁ χαλεβ καὶ αραμ

**10** καὶ αραμ ἐγέννησεν τὸν αμιναδαβ καὶ αμιναδαβ ἐγέννησεν τὸν ναασσων ἄρχοντα τοῦ οἴκου ιουδα

**11** καὶ ναασσων ἐγέννησεν τὸν σαλμων καὶ σαλμων ἐγέννησεν τὸν βοος

**12** καὶ βοος ἐγέννησεν τὸν ωβηδ καὶ ωβηδ ἐγέννησεν τὸν ιεσσαι

**13** καὶ ιεσσαι ἐγέννησεν τὸν πρωτότοκον αὐτοῦ ελιαβ αμιναδαβ ὁ δεύτερος σαμαα ὁ τρίτος

**14** ναθαναηλ ὁ τέταρτος ραδδαι ὁ πέμπτος

**15** ασομ ὁ ἕκτος δαυιδ ὁ ἕβδομος

**16** καὶ ἀδελφὴ αὐτῶν σαρουια καὶ αβιγαια καὶ υἱοὶ σαρουια αβεσσα καὶ ιωαβ καὶ ασαηλ τρεῖς

**17** καὶ αβιγαια ἐγέννησεν τὸν αμεσσα καὶ πατὴρ αμεσσα ιοθορ ὁ ισμαηλίτης

**18** καὶ χαλεβ υἱὸς εσερων ἐγέννησεν τὴν γαζουβα γυναῖκα καὶ τὴν ιεριωθ καὶ οὗτοι υἱοὶ αὐτῆς ιωασαρ καὶ σωβαβ καὶ ορνα

**19** καὶ ἀπέθανεν γαζουβα καὶ ἔλαβεν ἑαυτῷ χαλεβ τὴν εφραθ καὶ ἔτεκεν αὐτῷ τὸν ωρ

**20** καὶ ωρ ἐγέννησεν τὸν ουρι καὶ ουρι ἐγέννησεν τὸν βεσελεηλ


Druckausgabe erzeugt am 30.04.2025 auf bibelkommentare.de

**21** καὶ μετὰ ταῦτα εἰσῆλθεν εσερων πρὸς τὴν θυγατέρα μαχιρ πατρὸς γαλααδ καὶ οὗτος ἔλαβεν αὐτήν καὶ αὐτὸς ἑξήκοντα ἦν ἐτῶν καὶ ἔτεκεν αὐτῷ τὸν σεγουβ

**22** καὶ σεγουβ ἐγέννησεν τὸν ιαϊρ καὶ ἦσαν αὐτῷ εἴκοσι τρεῖς πόλεις ἐν τῇ γαλααδ

**23** καὶ ἔλαβεν γεδσουρ καὶ αραμ τὰς κώμας ιαϊρ ἐξ αὐτῶν τὴν καναθ καὶ τὰς κώμας αὐτῆς ἑξήκοντα πόλεις πᾶσαι αὗται υἱῶν μαχιρ πατρὸς γαλααδ

**24** καὶ μετὰ τὸ ἀποθανεῖν εσερων ἦλθεν χαλεβ εἰς εφραθα καὶ ἡ γυνὴ εσερων αβια καὶ ἔτεκεν αὐτῷ τὸν ασχωδ πατέρα θεκωε

**25** καὶ ἦσαν υἱοὶ ιερεμεηλ πρωτοτόκου εσερων ὁ πρωτότοκος ραμ καὶ βαανα καὶ αραν καὶ ασομ ἀδελφὸς αὐτοῦ

**26** καὶ ἦν γυνὴ ἑτέρα τῷ ιερεμεηλ καὶ ὄνομα αὐτῇ αταρα αὕτη ἐστὶν μήτηρ οζομ

**27** καὶ ἦσαν υἱοὶ ραμ πρωτοτόκου ιερεμεηλ μαας καὶ ιαμιν καὶ ακορ

**28** καὶ ἦσαν υἱοὶ οζομ σαμαι καὶ ιαδαε καὶ υἱοὶ σαμαι ναδαβ καὶ αβισουρ

**29** καὶ ὄνομα τῆς γυναικὸς αβισουρ αβιχαιλ καὶ ἔτεκεν αὐτῷ τὸν αχαβαρ καὶ τὸν μωλιδ

**30** υἱοὶ ναδαβ σαλαδ καὶ αφφαιμ καὶ ἀπέθανεν σαλαδ οὐκ ἔχων τέκνα

**31** καὶ υἱοὶ αφφαιμ ισεμιηλ καὶ υἱοὶ ισεμιηλ σωσαν καὶ υἱοὶ σωσαν αχλαι

**32** καὶ υἱοὶ ιαδαε αχισαμαι ιεθερ ιωναθαν καὶ ἀπέθανεν ιεθερ οὐκ ἔχων τέκνα

**33** καὶ υἱοὶ ιωναθαν φαλεθ καὶ οζαζα οὗτοι ἦσαν υἱοὶ ιερεμεηλ

**34** καὶ οὐκ ἦσαν τῷ σωσαν υἱοί ἀλλ' ἢ θυγατέρες καὶ τῷ σωσαν παῖς αἰγύπτιος καὶ ὄνομα αὐτῷ ιωχηλ

**35** καὶ ἔδωκεν σωσαν τὴν θυγατέρα αὐτοῦ τῷ ιωχηλ παιδὶ αὐτοῦ εἰς γυναῖκα καὶ ἔτεκεν αὐτῷ τὸν εθθι

**36** καὶ εθθι ἐγέννησεν τὸν ναθαν καὶ ναθαν ἐγέννησεν τὸν ζαβεδ

**37** καὶ ζαβεδ ἐγέννησεν τὸν αφαληλ καὶ αφαληλ ἐγέννησεν τὸν ωβηδ

**38** καὶ ωβηδ ἐγέννησεν τὸν ιηου καὶ ιηου ἐγέννησεν τὸν αζαριαν

**39** καὶ αζαριας ἐγέννησεν τὸν χελλης καὶ χελλης ἐγέννησεν τὸν ελεασα

**40** καὶ ελεασα ἐγέννησεν τὸν σοσομαι καὶ σοσομαι ἐγέννησεν τὸν σαλουμ

**41** καὶ σαλουμ ἐγέννησεν τὸν ιεχεμιαν καὶ ιεχεμιας ἐγέννησεν τὸν ελισαμα

**42** καὶ υἱοὶ χαλεβ ἀδελφοῦ ιερεμεηλ μαρισα ὁ πρωτότοκος αὐτοῦ οὗτος πατὴρ ζιφ καὶ υἱοὶ μαρισα πατρὸς χεβρων

**43** καὶ υἱοὶ χεβρων κορε καὶ θαπους καὶ ρεκομ καὶ σεμαα

**44** καὶ σεμαα ἐγέννησεν τὸν ραεμ πατέρα ιερκααν καὶ ιερκααν ἐγέννησεν τὸν σαμαι

**45** καὶ υἱὸς αὐτοῦ μαων καὶ μαων πατὴρ βαιθσουρ

**46** καὶ γαιφα ἡ παλλακὴ χαλεβ ἐγέννησεν τὸν αρραν καὶ τὸν μωσα καὶ τὸν γεζουε καὶ αρραν ἐγέννησεν τὸν γεζουε

**47** καὶ υἱοὶ ιαδαι ραγεμ καὶ ιωαθαμ καὶ γηρσωμ καὶ φαλετ καὶ γαιφα καὶ σαγαφ

**48** καὶ ἡ παλλακὴ χαλεβ μωχα ἐγέννησεν τὸν σαβερ καὶ τὸν θαρχνα

**49** καὶ ἐγέννησεν σαγαφ πατέρα μαρμηνα καὶ τὸν σαου πατέρα μαχαβηνα καὶ πατέρα γαιβαα καὶ θυγάτηρ χαλεβ ασχα

**50** οὗτοι ἦσαν υἱοὶ χαλεβ υἱοὶ ωρ πρωτοτόκου εφραθα σωβαλ πατὴρ καριαθιαριμ

**51** σαλωμων πατὴρ βαιθλαεμ αριμ πατὴρ βαιθγεδωρ

**52** καὶ ἦσαν υἱοὶ τῷ σωβαλ πατρὶ καριαθιαριμ αραα εσι αμμανιθ

**53** εμοσφεως πόλις ιαϊρ αιθαλιμ καὶ μιφιθιμ καὶ ησαμαθιμ καὶ ημασαραϊμ ἐκ τούτων ἐξήλθοσαν οἱ σαραθαῖοι καὶ οἱ εσθαωλαῖοι

**54** υἱοὶ σαλωμων βαιθλαεμ νετωφαθι αταρωθ οἴκου ιωαβ καὶ ἥμισυ τῆς μαναθι ησαρεϊ

**55** πατριαὶ γραμματέων κατοικοῦντες ιαβες θαργαθιμ σαμαθιμ σωκαθιμ οὗτοι οἱ κιναῖοι οἱ ἐλθόντες ἐκ μεσημα πατρὸς οἴκου ρηχαβ


Druckausgabe erzeugt am 30.04.2025 auf bibelkommentare.de